αὐτοῦ πολίταις ἠτιμωμένον οἰκεῖν, ἢ παρ᾽ ἑτέροις μετοικεῖν· δέομαι
οὖν ὑμῶν, βοηθῆσαί μοι, καὶ μὴ περιιδεῖν με ὑπὸ τῶν ἐχθρῶν ὑ-
βρισθέντα, μηδὲ τῆς πατρίδος ἀποστερηθέντα· μηδ᾽ ἐπὶ τοιαύταις
τύχαις περίβλεπτον γενόμενον· δικαίως δ᾽ ἂν ὑφ᾽ ὑμῶν δι᾽ αὐ-
τῶν τῶν ἔργων ἐλεηθείην. εἰ καὶ τῷ λόγῳ τυγχάνω μὴ βουλό-
μενος ὑμᾶς ἐπὶ τοῦτ᾽ ἄγειν, ὥσπερ χρὴ τούτους ἐλεεῖσθαι, τοὺς
ἀδίκως μὲν κινδυνεύοντας, περὶ δὲ τῶν μεγίστων ἀγωνιζομένους,
ἀναξίως δ᾽ αὑτῶν καὶ τῶν προγόνων πράττοντας, πλείστων δὲ
χρημάτων ἀπεστερημένους, καὶ μεγίστῃ μεταβολῇ τοῦ βίου
κεχρημένους· πολλὰ δ᾽ ἔχων ἐμαυτὸν ὀδύρεσθαι, μάλιστ᾽ ἐπὶ τού-
τοις ἀγανακτῶ· πρῶτον μὲν, εἰ τούτῳ δώσω δίκην, παρ᾽ οὗ
λαβεῖν ὑμᾶς προσήκει· δεύτερον δ᾽ εἰ διὰ τὴν τοῦ πατρὸς νίκην τὴν
Ὀλυμπίασιν, ἀτιμωθήσομαι, δι᾽ ἣν τοὺς ἄλλους ὁρῶ δωρεὰς
λαμβάνοντας· πρὸς δὲ τούτοις, εἰ Τισίας μὲν, μηδὲν ἀγαθὸν
πεποιηκὼς τὴν πόλιν· καὶ ἐν δημοκρατίᾳ, καὶ ἐν ὀλιγαρχίᾳ μέ-
γας ἔσται, ἐγὼ δὲ μηδετέρους ἀδικήσας, ὑπ᾽ ἀμφοτέρων
κακῶς πείσομαι· καὶ περὶ μὲν τῶν ἄλλων τἀναντία τοῖς τριά-
κοντα ἐπράττετε, περὶ δ᾽ ἐμοῦ, τὴν αὐτὴν γνώμην ἐκείνοις
ἕξετε· καὶ τότε μὲν μεθ᾽ ὑμῶν, νῦν δ᾽ ὑφ᾽ ὑμῶν τῆς πόλεως
στερήσομαι:— λόγος αἰγινητικός: ιε

Ἐνόμιζον μὲν ὦ ἄνδρες αἰγινῆται, οὕτω καλῶς βεβουλεῦσθαι
περὶ τῶν ἑαυτοῦ θρασύλοχον· ὥστε μηδένα ἄν ποτ᾽ ἐλθεῖν
ἐναντία πράξοντα ταῖς διαθήκαις ἃς ἐκεῖνος κατέλιπεν·
ἐπειδὴ δὲ τοῖς ἀντιδίκοις, τοιαύτη γνώμη καθέστηκεν, ὥστε
καὶ πρὸς οὕτως ἐχούσας, αὐτὰς ἀμφισβητεῖν, ἀναγκαίως ἔχει
παρ᾽ ὑμῶν τῶν δικαίων πειρᾶσθαι τυγχάνειν· τοὐναντίον
δὲ πέπονθα τοῖς πλείστοις τῶν ἀγωνιζομένων· τοὺς μὲν γὰρ ἄλλους,
ὁρῶ χαλεπῶς φέροντας, ὅταν ἀδίκως περί τινος κινδυνεύωσι·

UNIVERSITÄTS-BIBLIOTHEK HEIDELBERG
BIBLIOTECA APOSTOLICA VATICANA
The Polonsky Foundation
© Biblioteca Apostolica Vaticana
https://digi.ub.uni-heidelberg.de/diglit/bav_pal_gr_187/0191